Fol. 1. p. 2.

σοφῶν δὲ καὶ λίαν οὐκ ἀπεικότως, ἐναντία λεγόντων τρισὶν ἀνδρά-
σιν ἁγίοις καὶ φιλοσόφοις. παρίημι τοὺς ἄλλους τότε νῦν
ἔχον, τούτοις καὶ μόνον ἡμῖν ἀρκούντων εἰς τὴν ὑπόθεσιν.
τίσι δὲ τούτοις; Ἰωάννῃ τῷ πάνυ καὶ χρυσορρήμονι. Γρη-
γορίῳ τῷ ὑψηγόρῳ. καὶ Βασιλείῳ τῷ θεοφάντορι. τῷ μὲν, ἐν τῷ

Loca subducta rubro scripta erant.

λόγῳ οὑτωσὶ πως εἰλικρινῶς καὶ πεφρασμένως φάσκοντι, τῷ εἰς
τὰ ἅγια θεοφάνια:. Ἰωάννου τοῦ χρυσοστόμου:.

» Ὁ γεννηθεὶς ἀπορρήτως δι᾽ ἑαυτόν, ἐκ παρθένου ἀφράστως τί-
» κτεται δι᾽ ἐμέ. ἀλλὰ τότε μὲν ἐγεννήθη κατὰ φύσιν ἐκ τοῦ
» πατρός. σήμερον δὲ ἐγεννήθη, ὡς αὐτὸς οἶδε μόνος ἐκ τῆς παρ-
» θένου, ὡς ἡ τοῦ ἁγίου πνεύματος ἐπίσταται χάρις. καὶ ἡ ἄνω αὐτοῦ
» γέννησις, ἀψευδής. ἀληθῶς θεὸς ἐκ θεοῦ ἐγεννήθη. ἀληθῶς καὶ
» ἄνθρωπος ὁ αὐτὸς ἐκ τῆς παρθένου ἐτέχθη. ἄνω μόνος ἐκ μόνου
» μονογενής. καὶ κάτω μόνος ἐκ μόνης παρθένου μονογενὴς
» ὁ αὐτός. ὥσπερ γὰρ ἐπὶ τῆς ἄνω γεννήσεως ἀσεβὲς ἐννοῆ-
» σαι μητέρα, οὕτω βλάσφημόν ἐστιν ὑπολαβεῖν, καὶ ἐπὶ τῆς κάτω
» γεννήσεως πατέρα. ὁ πατὴρ ἀρρεύστως ἐγέννησεν, ἡ παρθένος
» ἀφθάρτως ἔτεκεν. οὔτε γὰρ ὁ θεὸς ῥεῦσιν ὑπέμεινε γεννήσας,
» θεοπρεπῶς γὰρ ἐγέννησεν, οὔτε ἡ παρθένος φθορὰν ὑπέ-
» μεινε τεκοῦσα. πνευματικῶς γὰρ ἔτεκεν. ὅθεν, οὐδὲ ἡ ἄνω αὐ-
» τοῦ γέννησις εἰς ἐξήγησιν ἕλκεται, οὔτε ἡ ἐν ὑστέροις και-
» ροῖς πρόοδος πολυπραγμονίας ἐν πάθει γέγονεν. ὅτι γὰρ
» ἔτεκεν ἡ παρθένος, οἶδα. καὶ ὅτι ἐγέννησεν ὁ θεὸς ἀχρό-
» νως, πιστεύω. τὸν δὲ τρόπον τῆς γεννήσεως, σιωπῇ τιμᾶν
» μεμάθηκα, καὶ οὐ διὰ λόγων πολυπραγμονεῖν παρέλα-
» βον. ἐπεὶ γὰρ θεοῦ, οὐ δεῖ τῇ φύσει τῶν πραγμάτων προσέ-
» χειν, ἀλλὰ τῇ δυνάμει τοῦ ἐνεργοῦντος πιστεύειν. φύσεως
» γάρ ἐστι πόρος, ὅταν γυνὴ ἀρρενικοῖς ὁμιλήσασα θεσ-
» μοῖς, τέκῃ. ὅταν δὲ παρθένος ἀπειρογάμως τεκοῦσα,
» πάλιν παρθένος φανείη, ὑπὲρ φύσιν τὰ πράγματα. τὸ